ΚΡ. οὐδέν· μεθῆκα τόξα· τἀπὶ τῶιδε δὲ
ἐγώ τε σιγῶ καὶ σὺ μὴ φρόντιζ' ἔτι.
ΙΩΝ τίς δ' εἶ; πόθεν γῆς ἦλθες; ἐκ ποίου πατρός
πέφυκας; ὄνομα τί σε καλεῖν ἡμᾶς χρεών;
ΚΡ. Κρέουσα μέν μοι τοὔνομ', ἐκ δ' Ἐρεχθέως
πέφυκα, πατρὶς γῆ δ' Ἀθηναίων πόλις.
ΙΩΝ ὦ κλεινὸν οἰκοῦσ' ἄστυ γενναίων τ' ἄπο
τραφεῖσα πατέρων, ὥς σε θαυμάζω γύναι.
ΚΡ. τοσαῦτα κεὐτυχοῦμεν, ὦ ξέν', οὐ πέρα.
ΙΩΝ πρὸς θεῶν ἀληθῶς, ὡς μεμύθευται βροτοῖς
ΚΡ. τί χρῆμ' ἐρωτᾶις ὦ ξέν' ἐκμαθεῖν θέλων.
ΙΩΝ ἐκ γῆς πατρός σου πρόγονος ἔβλαστεν πατήρ;
ΚΡ. Ἐριχθόνιός γε· τὸ δὲ γένος μ' οὐκ ὠφελεῖ.
ΙΩΝ ἦ καί σφ' Ἀθάνα γῆθεν ἐξανείλετο;
ΚΡ. ἐς παρθένους γε χεῖρας, οὐ τεκοῦσά νιν.
ΙΩΝ δίδωσι δ', ὥσπερ ἐν γραφῆι νομίζεται
ΚΡ. Κέκροπός γε σώιζειν παισὶν οὐχ ὁρώμενον.
ΙΩΝ ἤκουσα λῦσαι παρθένους τεῦχος θεᾶς.
ΚΡ. τοιγὰρ θανοῦσαι σκόπελον ἥιμαξαν πέτρας.
ΙΩΝ εἶέν·
τί δὴ τόδ'; ἆρ' ἀληθὲς ἢ μάτην λόγος;
ΚΡ. τί χρῆμ' ἐρωτᾶις; καὶ γὰρ οὐ κάμνω σχολῆι.
ΙΩΝ πατὴρ Ἐρεχθεὺς σὰς ἔθυσε συγγόνους;
ΚΡ. ἔτλη πρὸ γαίας σφάγια παρθένους κτανεῖν.
ΙΩΝ σὺ δ' ἐξεσώθης πῶς κασιγνήτων μόνη;
ΚΡ. βρέφος νεογνὸν μητρὸς ἦν ἐν ἀγκάλαις.
ΙΩΝ πατέρα δ' ἀληθῶς χάσμα σὸν κρύπτει χθονός;
ΚΡ. πληγαὶ τριαίνης ποντίου σφ' ἀπώλεσαν.
ΙΩΝ Μακραὶ δὲ χῶρός ἐστ' ἐκεῖ κεκλημένος;
ΚΡ. τί δ' ἱστορεῖς τόδ'; ὥς μ' ἀνέμνησάς τινος.
ΙΩΝ τιμᾶι σφε Πύθιος ἀστραπαί τε Πύθιαι;
ΚΡ. τιμᾶι γ' ἄτιμ'. ὡς μήποτ' ὤφελόν σφ' ἰδεῖν.
ΙΩΝ τί δέ; στυγεῖς σὺ τοῦ θεοῦ τὰ φίλτατα;
ΚΡ. οὐδέν· ξύνοιδ' ἄντροισιν αἰσχύνην τινά.
ΙΩΝ πόσις δὲ τίς σ' ἔγημ' Ἀθηναίων γύναι;

---

258 ποίας πάτρας: L. Dind 266 θέλω: Badh 275 δαί: Elmsley 282 τριαίνεις: p 286 τιμᾶι τιμᾶι: Bothe Seidler σφ' Scal: σ' 288 ξέν' οἶδ': Tyrwhitt